ιέ. Οἶμαι δ' ἂν, καὶ εἰ ἐπὶ πῦρ ἐλθόντος σου, καὶ μὴ ὄντος παρ' ἐμοὶ, εἰ ἄλλοσε ἡγησαίμην, ὁπόθεν σοι εἴη λαβεῖν, οὐκ ἂν ἐμέμφου μοι· καὶ εἰ ὕδωρ παρ' ἐμοῦ αἰτοῦντί σοι αὐτὸς μὴ ἔχων, ἄλλοσε καὶ ἐπὶ τοῦτο ἤγαγον, οἶδ' ὅτι οὐδ' ἂν τοῦτό μοι ἐμέμφου. καὶ εἰ βουλομένου μουσικὴν μαθεῖν σου παρ' ἐμοῦ, δείξαιμί σοι πολὺ δεινοτέρους ἐμοῦ περὶ μουσικὴν, καί σοι χάριν εἰδότας, εἰ ἐθέλοις παρ' αὐτῶν μανθάνειν, τί ἂν ἔτι μοι ταῦτα ποιοῦντι μέμφοιο; οὐδὲν ἂν δικαίως γε, ὦ Σώκρατες.

ιϛ'. Εγὼ τοίνυν σοι δείξω, ὦ Κριτόβουλε, ὅσα νῦν λιπαρεῖς παρ' ἐμοῦ μανθάνειν, πολὺ ἄλλους δεινοτέρους ἐμοῦ περὶ ταῦτα. ὁμολογῶ δὲ μεμεληκέναι μοι, οἵτινες ἕκαστα ἐπιστημονέστατοί εἰσι τῶν ἐν τῇ πόλει.

ιζ'. Καταμαθὼν γάρ ποτε ἀπὸ τῶν αὐτῶν ἔργων τοὺς μὲν πάνυ ἀπόρους ὄντας, τοὺς δὲ πάνυ πλουσίους, ἀπεθαύμασα, καὶ ἔδοξέ μοι ἄξιον εἶναι ἐπισκέψεως ὅ, τι εἴη τοῦτο· καὶ εὗρον, ἐπισκοπῶν πάνυ οἰκείως ταῦτα γιγνόμενα.

ιή. Τοὺς μὲν γὰρ εἰκῇ ταῦτα πράττοντας, ζημιουμένους ἑώρων, τοὺς δὲ γνώμῃ συντεταμένῃ ἐπιμελουμένους, καὶ θᾶττον καὶ ῥᾷον καὶ κερδαλεώτερον κατέγνων πράττοντας· παρ' ὧν ἂν καὶ σὲ οἶμαι, εἰ βούλοιο, μαθόντα, εἴ σοι ὁ Θεὸς μὴ ἐναντιοῖτο, πάνυ ἂν δεινὸν χρηματιστὴν γενέσθαι.